www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἁγίον μεγαλομάρτυρα Γεώργιον τὸν τροπαιοφόρον

ἦχος Δ΄

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Κανὼν εἰς τὸν Ἁγίον μεγαλομάρτυρα Γεώργιον τὸν τροπαιοφόρον, οὗ ἡ ἀκροστιχίς, κατ᾽ Ἀλφάβητον· ἐν δὲ τοῖς Θεοτοκίοις «Ἱλαρίων Μ.» ἦχος Δ΄.**

*ᾨδὴ Α΄. Ἀνοίξω τὸ στόμα μου.*

Ἀδέτω πανένδοξε, τροπαιοφόρε Γεώργιε, ᾠδὴν τὴν χαρμόσυνον, τῆς πανηγύρεως, τῆς σῆς ἅπασα, πληθὺς τῶν ὀρθοδόξων, ἐνθέως χορεύουσα, καὶ ἀλαλάζουσα.

Βημάτων οὐκ ἔπτηξας, τῶν ἀσεβούντων τρισένδοξε, τὴν τούτων παράνοιαν, καταρραξάμενος, τῇ τοῦ Πνεύματος, δυνάμει τοῦ Ἁγίου, ἐξ ὕψους πλουσίως σοι δοθείσῃ ἅγιε.

Γεώργιον ἔνδοξον, τῶν σῶν καμάτων Γεώργιε, γεραίροντες ἄσμασι χάριν σωτήριον, ἀρυόμεθα, παρὰ τοῦ οὐρανίου, γεωργοῦ τὴν ἄφεσιν τῶν παραπτώσεων.

*Θεοτοκίον.*

Ἱκάνωσον Δέσποινα, νοῦν τὸν ἐμὸν τῇ σῇ χάριτι, καὶ γλῶτταν μου τράνωσον, ὅπως τὰ ἔνθεα, ἀγωνίσματα τοῦ θείου Γεωργίου, τοῦ μεγαλομάρτυρος ἀξίως ἄσωμαι.

*ᾨδὴ Γ΄. Τοὺς σοὺς ὑμνολόγους.*

Δεινοῦ κοσμοκράτορος θεόφρον, Γεώργιε σὺ τὰς μηχανάς, ἀπράκτους ἐναπέφηνας, Χριστὸν συναντιλήπτορα, ὡς ἔχων ἐν τοῖς ἄθλοις σου, κλέος μαρτύρων καὶ ἔρεισμα.

Εἰδώλων τὴν πλάνην τὴν ζοφώδη, διέλυσας μάκαρ τῷ φωτί, τῆς σῆς στερρᾶς ἀθλήσεως καὶ πίστιν τὴν θεόσδοτον, ἀνακηρύξας ἔδραμες, στεφηφορῶν πρὸς οὐράνια.

Ζωῆς ἐφιέμενος τῆς ἄνω, βασάνοις δεινοῖς, τρισαριστεῦ, ἀνδρείως προσεχώρησας, τὸ σῶμα τὸ φθειρόμενον, σοφὲ παραβλεψάμενος, στεφάνων δόξης ἠξίωσαι.

*Θεοτοκίον.*

Λοχεύτριαν Κόρη τοῦ Ὑψίστου, οἱ μάρτυρες σὲ εἰλικρινῶς, τρανῶς ὁμολογήσαντες στεφάνων ἠξιώθησαν, ἀμαραντίνων χαίροντες, πρὸς τοῦ σοῦ τόκου θεόνυμφε.

*Ὠιδὴ Δ´. Τὴν ἀνεξιχνίαστον.*

Ἡ πανυπερένδοξος μνήμη τῆς σῆς, μάρτυς τοῦ Χριστοῦ τελειώσεως, τῶν εὐσεβούντων, κατευφραίνει τὰς ψυχάς, καὶ τῶν νοσούντων ἔνδοξε, ἴασιν δωρεῖται Γεώργιε.

Θυρεῷ φραττόμενος τῷ τοῦ Χριστοῦ, πόθῳ διαπύρῳ τρισένδοξε, κατεμελίσθης, τῷ τροχῷ τὴν δὲ ψυχὴν, ἀλώβητον ἐτήρησας, χαίρων στεφανίτα Γεώργιε.

Ἰησοῦ μου ἔκραζεν ὁ ἀθλητής, τοῖς κολαστηρίοις στομούμενος, οὐ πῦρ οὐ ξίφος, οὐδὲ θάνατος τῆς σῆς ἀγάπης κατισχύσειε, Σῶτερ τὸν σὸν δοῦλον χωρίσαι με.

*Θεοτοκίον.*

Ἅπαν τὸ ἀνθρώπινον τῷ τοκετῷ, Δέσποινα τῷ σῷ ἠλευθέρωσαι, τῆς καταδίκης, τοῦ θανάτου καὶ ἰσχύν, τοῖς ἀθληφόροις ἔνειμας, τούτου καταπαίζειν τὴν δύναμιν.

*Ὠιδὴ Ε´. Ἐξέστη τὰ σύμπαντα.*

Κατέπληξας ἅπαντα, τῆς οἰκουμένης πέρατα, ἔνδοξε τοῖς θείοις σου ἀγῶσι, τῶν ὁρωμένων γὰρ καταβέβληκας καὶ τῶν ἀοράτων δυσμενῶν, πάνσοφε Γεώργιε, τὴν ὑπόσαθρον δύναμιν.

Λατρείαν τὴν ἄθεσμον, κατέπαυσας μακάριε, πόνοις ἀφορήτοις καὶ ἱδρῶσι, καὶ τοῦ σοῦ μάρτυς ἐκχύσει αἵματος, καὶ τοῖς ὑπὲρ λόγον τε καὶ νοῦν, θαυμασίοις ἔνδοξε, οἷς Θεός σε ἐδόξασε.

Μαρτύρων προσέφερες, ἑσμὸν ὥσπερ θυμίαμα, εὔοσμον τῷ κτίστῃ σου τρισμάκαρ, τὸν Πρωτολέοντα καὶ Γλυκέριον, καὶ τὸν Ἀνατόλιον ὁμοῦ, καὶ σὺν τούτοις Ἄνασσαν, Ἀλεξάνδραν Γεώργιε.

*Θεοτοκίον.*

Ῥοώδη ἐσθένωσας, τὴν βρότειον Πανάχραντε, φύσιν τῇ ἀσπόρῳ σου λοχείᾳ, ὅθεν μαρτύρων πλήθη ἐξέχεαν, αἷμα τὸ οἰκεῖον ἀφειδῶς, ὡς Θεὸν κηρύττοντες, τὸν Υἱόν σου καὶ Κύριον.

Ὠιδὴ ΣΤ΄. Τὴν θείαν ταύτην.

Νοσούντων πέλεις τὸ ἴαμα, πενήτων πλουτιστὴς καὶ βοήθεια, τοῖς σοὶ προστρέχουσι, ἐν περιστάσει Γεώργιε κλεινὲ μεγαλομάρτυς τοῦ Παντοκράτορος.

Ξεσμούς, ἀνδρείως τοῦ σώματος, τὸν λάκκον καὶ τροχὸν καὶ ὑπόδησιν ἡλώδη ἅγιε, καθυπομείνας ἀνέδραμες, τῇ ἐκτομῇ τῆς κάρας σου πρὸς οὐράνια.

Ὁ μέγας μάρτυς Γεώργιος, Πατέρα καὶ Υἱὸν καὶ τὸ Ἅγιον, Πνεῦμα ἐκήρυξε, ἐν τῷ σταδίῳ θεότητα, μίαν καὶ τρισσουμένην ταῖς ὑποστάσεσι.

Θεοτοκίον.

Ἰάσω Κόρη τὸν ἄνθρωπον, πρὸς θάνατον τὸ πρὶν ὀλισθήσαντα, ἐκ παραβάσεως, καὶ νικητὴν τούτου ἔδειξας, τῇ ὑπὲρ νοῦν καὶ λόγον κυοφορίᾳ σου.

Ὠιδὴ Ζ΄. Οὐκ ἐλάτρευσαν.

Παριστάμενοι, μαρτύρων σὺν στρατεύμασι, καὶ τῶν Ἀγγέλων χοροῖς, τῷ Τρισηλίῳ φωτί, καὶ τοῦτον Γεώργιε τῆς αἴγλης ἔνδοξε, ἐμφορούμενος, μέλπεις ἀεὶ γηθόμενος, ὁ Θεὸς εὐλογητός εἶ.

Ρύμην ἔστησας, τὴν ἄθεον Γεώργιε, τῇ καρτερίᾳ σου, πρὸς τὰς βασάνους διό, Χριστὸς διαδήμασι, σὲ ἐστεφάνωσε, νίκης ἔνδοξε, ὃν ἐκτενῶς ἱκέτευε, τοῦ ἡμᾶς ἐλεηθῆναι.

Συγχορεύουσιν, ἡ γῆ καὶ τὰ οὐράνια, ἐπὶ τῇ μνήμῃ σου, δοξολογοῦντες Χριστόν, τὸν σὲ ἐπιρρώσαντα, καὶ ἀναμέλπουσι, ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητός εἶ.

Θεοτοκίον.

Ὡραΐσθησαν ἐνθέοις καλλωπίσμασιν, οἱ θεῖοι μάρτυρες, Παρθενομῆτορ τὸν σόν, Υἱὸν ἐν τοῖς σκάμμασιν, ἀνακηρύττοντες, ὡς θεάνθρωπον, Δημιουργὸν καὶ Κύριον, τῶν ἁπάντων καὶ Δεσπότην.

Ὠιδὴ Η΄. Παῖδας εὐαγεῖς.

Τέρπου καὶ ἐνθέως ἐπαγάλλου, ἁπάντων τῶν ὀρθοδόξων ἡ ὁμήγυρις, μνήμην ἑορτάζουσα, τοῦ μεγαλομάρτυρος, τοῦ Γεωργίου ᾄσμασι, τοῦτον

γεραίρουσα, καὶ πίστει πρὸς αὐτὸν ἐκβοῶσα, στήριγμα γενοῦ μοι, κατὰ τῶν ἐναντίων.

Ὕμνοις καὶ ᾠδαῖς τὴν φωτοφόρον, πανήγυριν ἐκτελοῦντες σου Γεώργιε, πίστει ἐξαιτούμεθα, τῆς σῆς ἀντιλήψεως, ἐκ πειρασμῶν καὶ θλίψεων, καὶ νοσημάτων ἡμᾶς, στεφανίτα λύτρωσαι τοὺς δούλους σου, ὅπως πάντοτε σὲ μακαρίζωμεν.

Φύλακα τοῦ Ὄρους σε τοῦ Ἄθω, καλοῦμεν τροπαιοφόρε οἱ μονάζοντες, ἐνταυθεῖ Γεώργιε, καὶ ἐνσεμνυνόμεθα, διὸ σὺν τῇ Προστάτιδι, ἡμῶν Θεοῦ τῇ Μητρί, καὶ Ἐφόρῳ τῷ Χριστῷ μὴ παύσησθε, ἱκετεύοντες ἐλεηθῆναι ἡμᾶς.

*Θεοτοκίον.*

Νίκην διὰ σοῦ οἱ ἀσθενοῦντες, τὴν δύναμιν ἀληθῶς περιζωσάμενοι, τοῦ σοῦ τόκου Ἄχραντε, τῶν στεφάνων ἔτυχον, ἀθλητικὴν τὴν ἔνστασιν ἐπιδειξάμενοι, διόπερ νῦν ἀεί σε ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ Θ΄. Ἅπας γηγενής.*

Χαίρων ἀθλητά, σκληραῖς ἐν κολάσεσι μάκαρ Γεώργιε, χαίρων καὶ τὴν πάντιμον, κάραν σου ξίφει ἀποτεμνόμενος, καὶ χαίρων ἀνελήλυθας πρὸς τὰ οὐράνια, ἔνθα χαίρων, μέμνησο τῶν δούλων σου, τῶν σὲ πόθῳ ὑμνούντων πανένδοξε.

Ψάλλομεν πιστῶς, ἐνθέοις ἐν ᾄσμασι, πανηγυρίζοντες, τὴν κοσμοχαρμόσυνον, καὶ θείαν μνήμην τῆς τελειώσεως, τῆς σῆς καὶ ἀλαλάζοντες, φαιδρῶς βοῶμέν σοι, ἀθλοφόρε ἔνδοξε Γεώργιε, ἐν κινδύνοις ἡμᾶς διαφύλαττε.

Ὢ τῶν δωρεῶν, ὢ τῶν ὑπὲρ ἔννοιαν καὶ λόγον ἄνθρωποι, οἷσπερ κατηξίωται, ὁ τροπαιοῦχος Χριστοῦ Γεώργιος, πληθὺν θαυμάτων ἄφατον τοῖς μετὰ πίστεως, προσιοῦσι καὶ θερμῶς προστρέχουσι ἐν ἀνάγκαις προσνέμει καὶ θλίψεσι.

*Θεοτοκίον.*

Μέλος σοι ἀεί, Παρθένε οἱ δοῦλοί σου, ἐνθέως μέλπομεν, οἱ τὸν σὸν περίβολον, Ἄθω οἰκοῦντες τὸν ἁγιώνυμον, τοῦ Ἀρχαγγέλου Δέσποινα χαῖρε

www.tezaurliturgic.ro


ἡμῶν ἡ τροφός, χαῖρε φύλαξ, χαῖρε παραπτώσεων, ἡμῶν λύσις, καὶ σώτειρα εὔσπλαγχνος.

*Προσόμοια. Ὁ ἐξ ὑψίστου κληθείς. ἦχος Δ΄.*

Τὸν στρατιώτην Χριστοῦ τὸν στεφηφόρον, δεῦτε εὐφημήσωμεν, ἐν ὕμνοις μέλποντες, τὰς ἀριστείας ἃς ἤνυσε, γενναιοφρόνως, μὴ καταπτήξας ἄθεον πρόσταγμα, καὶ δόλων κελεύσματα ἀποκρουσάμενος, ὅθεν βασάνοις ὁ πανένδοξος, ὁμιλήσας εἰς γῆν κατεσκήνωσεν, τῶν πραέων ἐν ἧπερ, αἰωνίως νῦν ἀγάλλεται.

Σῶμα τὸ φύσει φθειρόμενον μηδόλως, φεισάμενος ἔνδοξε, μάρτυς Γεώργιε, πρὸς τὰς κολάσεις ἐχώρησας, χαίρων θεόφρον, τροχῷ τὴν σάρκα κατατεμνόμενος, καὶ λάκκου πανθαύμαστε, ἔνδον βαλόμενος, ὅθεν τῷ ξίφει ἐστεφάνωσαι, καὶ Χριστῷ συγγινόμενος ἅγιε, καθικέτευε σῶσαι καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Τροπαιοφόρος ἐκλήθης ἐπαξίως, τὸν βύθιον δράκοντα, ὡς τροπωσάμενος, τὸν ἐξαλείφειν καυχώμενον, τὴν οἰκουμένην, διὸ Γεώργιε σὲ ἐδόξασεν, Χριστὸς ὁ φιλάνθρωπος, καὶ ἐθαυμάστωσε, πάσῃ τῇ κτίσει δωρησάμενος, ὡς φωστῆρα λαμπρὸν φαίνειν ἅγιε, τὰς φωσφόρους ἀκτίνας τῶν θαυμάτων σου πανεύφημε.

*Θεοτοκίον*

Τῇ Παντανάσσῃ Μητρὶ τῶν ὀρθοδόξων, τὰ πλήθη προστρέχοντες, καθικετεύσωμεν, τὴν Ἐκκλησίαν σου στήριξον, νῦν κλονουμένην, τῶν γλωσσαλγούντων παρακελεύσμασι, καὶ ὅλως ἀπάδουσι, τοῖς θείοις ρήμασι, ὅθεν τὴν τούτων Μητροπάρθενε, καὶ ἀσύγγνωστον πάντῃ ἀπόνοιαν, περιβόλων τῶν θείων, παντελῶς ἀποσκοράκισον.